UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

Isidorus <Pelusiota>

Parisiis, 1585

Isidoro Diacono. 337.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

Εὐτονίῳ διακόνῳ. τλε.

Τὸν βουληθέντα εὐεργετῆσαι, μὴ δυνηθέντα δὲ βοηθῆσαι, μὴ ἐκ τῆς ἐκβάσεως μέμφου, ἀλλ' ἐκ τῆς προθέσεως τίμα, ὅτι καὶ τῇ φύσει κεκίνηται, ἃ ἐχρῆν διαπράξασθαι, εἰ καὶ τῇ δυνάμει ἐνάρκησε, μὴ ἰσχύσας ἐργάσασθαι.

Eutonio Diacono. 335.

Eum qui de aliquo bene mereri ſtuduit, nec tamen ei opem ferre potuit, ex euentu ne reprehende: verũm ex animi inſtituto ac voluntate lauda, atque honore affice: quoniam etiam naturæ vi ad ea, quæ oportebat, efficienda incitatus eſt, etiamſi viribus elanguerit, nec quod conabatur, perſicere potuerit.

Κυνηγίῳ. τλϛ.

Οὐδὲ Παῦλος ὁ τῶν οὐρανίων ἀκριβέστατος γνώστης παιδεύει σε καταργεῖσθαι τὴν γαστέρα, καὶ τὰς ταύτης δυσορεξίας ἀποφαινόμενος, ἀλλ' ὅλος εἶ περὶ τράπεζαν λίχνος μόνην λαμπρῶς τὴν κατάποσιν κολακεύων, καὶ θεὸν ἡγούμενος τὴν κοιλίαν. εἰ τοίνυν τῇ παρούσῃ ζωῇ πάντα νομίζεις συγκαταλύεσθαι, καλῶς ἀγωνίζῃ στενοχωρούμενος βρώμασιν· εἰ δὲ τι καὶ μετὰ ταύτην πιστεύεις ἔσεσθαι, ἑτοίμαζε τὰ ἔργα σου πρὸς τὴν ἔξοδον.

καταρκῆσαι.

Cynegio. 336.

Ne Paulus quidem ipſe, cæleſtium ac diuinarum rerum exactiſſima cognitione præditus, te docet, ventrem, præpoſteróſque ipſius appetitus deſtrui atque aboleri pronuncians: verùm menſarum lautitiis totus addictus es, ſolum ventrem ſplendidè mulcens ac deliniens, Deúmque exiſtimans. Quocirca ſi omnia vnà cum hac vita extingui putas, præclarè decertas, cibis corpus comprimens. Sin autem aliquid poſt hanc futurum credis, opera tua ad exitum præpara.

Ἰσιδώρῳ διακόνῳ. τλζ.

Τὸ ἄχρις Ἀππίου φόρου, καὶ τριῶν ταβερνῶν τῷ Λουκᾷ ἐν ταῖς τῶν Ἀποστόλων πράξεσιν εἰρημένον, τόπους τινὰς σημαίνει περὶ τῆς Ῥώμης, τὸν μὲν εἰκόνα τινὰ Ἀππίου ἔχοντα, ὡς εἰκὸς, καὶ φόρον ἐκείνου καλούμενον, ὡς μέχρι νῦν αἱ τῶν βασιλέων εἰκόνες τοῦδε φόροι προσαγορεύονται. τὰ δὲ, πανδοχείων τινῶν ἢ καπηλείων χρῆσιν αἰνίσσονται, τῇ Ῥωμαίων φωνῇ, οὕτως ὀνομαζόμενα.

Iſidoro Diacono. 337.

Id quod à Luca dictum eſt in actis Apoſtolorũ, vſque ad Appij forum & Tres tabernas, formam quandam & effigiem ſignificat ante Romam proſtantem, ſimulachrum quoddam Appij habentem: quemadmodum ad hunc vſque diem Imperatorum imagines huius aut illius fora nuncupantur. Per Tabernas autem, latina lingua hoſpitia quædam aut cauponarum vſus deſignantur.

Ἀγελίδῃ Νουατιανῷ. τλη.

Φλήναφον συνείρας ἀπολογούμενος σχετλιασμὸν συνθεὶς πολυώδυνον τὴν θείαν λέγων μὴ ἰσχύειν ἀπόφασιν, ἥνπερ τοῖς ἱερεῦσι παρέχετο, ἀφιέναι τοῖς ἀνθρώποις τὰ πλαίσματα. εἰ δὲ αὐτὴ ἀνίσχυρος, πᾶσα πάντως ἀβέβαιος, καὶ εἰς μάτην ἐλπίζομεν, ὡς αὐτὸς ἐδογμάτισας.

Agelidi Nouatiano. 338.

Nugas, cauſam tuam defendens, contexuiſti, acerbiſſimã querelam componens, dum diuinã eam ſententiam vim habere negas, quam ſacerdotibus ad remittenda hominibus peccata præbuit. Quòd ſi hæc minimè firma & valida eſt, omnes profectò incertæ atque infirmæ ſunt, atque inanis ſpes noſtra eſt, quemadmodum tu docuiſti.

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN